UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Archontio magistratum gerenti. 301.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

παρακαλεῖν, ἐγκλήματα ῥάπτει. διὸ δὴ καὶ ἡ τῆς δικαιοσύνης πηγή, μὴ ἐλεεῖσθαι τὸν πένητα ἐν κρίσει ἐθέσπισεν. ἐλεεῖσθαι μὲν αὐτὸν βουλομένη, συκοφαντεῖν δὲ ἀπαγορεύουσα. εἰ γὰρ ἐκεῖνος τὸ τοῦ ἱκέτου σχῆμα ἀφέμενος, τὸ τοῦ διαδίκου ἀναλαβεῖν τολμήσειε τὸ δίκαιον, κρατείτω παρ' αὐτοῦ ψηφισαμένου. κύριος μὲν γάρ ἐστιν ὁ ἐγκληθεὶς καὶ νικήσας, μετὰ τὴν νίκην οἰκτεῖραι τὸν ἡττηθέντα, οὐ μὴν ὁ τῆς ψήφου κύριος, δίκαιος ἂν εἴη λυμήνασθαι τὸ δίκαιον.

quòd quietem agens obſecrare debebat: ipſe contrà accuſationes cõcinnat. Quam etiam ob cauſam Scriptura ſanxit, ne quis pauperis in iudicio miſereatur: non quòd ei miſericordiam impertiri nolit, ſed quòd eum ſycophantam agere prohibeat. Nam ſi ille ſupplicis ſpecie miſſa facta, litigatoris perſonam aſſumere audeat, ius apud iudicem ſuperiores partes ferat. Etenim quidẽ is qui in iudicium vocatus eſt, ac cauſam obtinuit, poſt victoriam ei, qui cauſa cecidit, facilem ac miſericordem ſe præbere: at non item æquum eſt, vt is, penes quem ſententiæ arbitrium ac poteſtas eſt, ius ipſum labefactet.

Θέωνι ἐπισκόπῳ. σϟθ.

Εἰ καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ κακία Ζωσίμου δοκιμαζομένη, ὡς γέγραφας, χαλεπή τις τυγχάνει καὶ τοῖς ἄλλοις παραβαλλομένη, χαλεπωτέρα εὑρίσκεται, τὸ δὲ μηδὲ εἰδέναι αὐτὸν ὅτι νοσεῖ, χαλεπωτάτην αὐτὴν δείκνυσι. τί ἡμῖν ἐνοχλεῖς ὡς δυναμένοις ἀνήκεστον θεραπεῦσαι νόσημα. τοῦτο γὰρ θεοῦ μόνου χρῄζει, τοῦ καὶ παθῶν καὶ πάσης περιγινομένου κακίας.

*Theoni Epiſcopo.* 299.

Si ipſa quoque ſeorſim perpenſa Zoſimi improbitas, vt ad me ſcribis, grauis eſt, atque cum aliis collata grauior inuenitur, ac denique hoc eam grauiſſimam & atrociſſimam eſſe demonſtrat, quòd morbũ ſuum ignorat, quid nobis perinde moleſtiam exhibes, tanquam incurabili morbo mederi queamus. Hoc enim Deum ſolum requirit, qui & turbulentas animorum permotiones, & omne vitij genus fundit ac profligat.

Πέτρῳ. τ.

Λίαν θαυμάζω τοῦ ἀοιδίμου Παύλου τὴν ἀνδρείαν, πῶς καὶ κρινόμενος ἐδημηγόρει, καὶ εὐθύνας ἀπαιτούμενος ἐδίδασκε. διδασκάλου μὲν γάρ ἐστι τὸ μετ' ἐξουσίας λέγειν, κρινομένου δὲ τὸ μετρεῖν τῷ καιρῷ τοὺς λόγους. ἀλλ' οὗτος εἰς τοὐναντίον ἐχώρει. εἶχε γὰρ ἐν ἑαυτῷ τὸν τῆς σοφίας χορηγόν τε καὶ πρύτανιν.

*Petro.* 300.

Magna me admiratione afficit celebris illius Pauli fortitudo, per quam & cùm in iudicium vocaretur, concionatoris munere fungebatur, & cùm cauſa ei dicenda eſſet, doctoris partes obibat. Doctoris enim eſt cum authoritate loqui: rei autem ſermones ſuos pro tempore moderari. At hic tamen contrà ſe gerebat; nec mirum: habebat enim in ſeipſo ſapientiæ subminiſtratorem ac moderatorem.

Ἀρχοντίῳ πολιτευομένῳ. τα.

Ἔοικας ἀγνοεῖν ὅτι τὸ αὐτὸ ῥῆμα, καὶ τὸ αὐτὸ ὄνομα, καὶ ὁ αὐτὸς λόγος, μὴ μετὰ τοῦ αὐτοῦ τόνου λεγόμενος, ποτὲ μὲν ἐμφαίνει λογισμοῦ, ποτὲ δὲ ὀργῆς καρπόν.

*Archontio magiſtratum gerenti.* 301.

Illud ignorare videris, idem verbum, & idem nomen, & eundem ſermonem, diſpari contentione prolatum, nunc quidem rationis ac prudentiæ, nunc autem prudentiæ fructum præ ſe ferre,